## ΚΕΦ. κδ'.

Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν, Ἄτιμος 1
ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. εἰ γὰρ ἀτιμία ἐστὶ κακὸν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. Μήτι οὖν τὸ σὸν ἔργον ἐστὶν, τὸ ἀρχῆς τυχεῖν; ἢ παραληφθῆναι ἐφ' ἑστίασιν; Οὐδαμῶς. Πῶς οὖν ἔτι τοῦτ' ἐστὶν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοὶ, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ; Ἀλλά σοι, οἱ 2
φίλοι ἀβοήθητοι ἔσονται; Τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρά σου ἀργύριον, οὐδὲ πο-



res editt. et mssti, et cum sequentibus jungunt. Duo verba delevit Vill. Ego, ut suspecta, uncis includo. καὶ ἱκανὸς ἔσῃ. Nonnulli, καὶ ἱκανόν ἐστι.

CAP. XXIV. 1. βιώσομαι. Al. ἔσομαι. Al. διαβιώσομαι. εἰ γὰρ ἀτιμία. εἰ γὰρ ἡ ἀτιμία scribo cum Meib. ἐστὶ κακόν. Addunt alii, ὥσπερ ἐστὶν, et sic ed. Vill. δι' ἄλλον. Temere δι' ἄλλου ed. Vill. Μήτι οὖν τὸ σὸν &c. Μήτι ἐστὶν οὖν σὸν ἔργον, ed. Meib. Mihi placuit Μή τι οὖν σόν ἐστιν ἔργον. ἐφ' ἑστίασιν. Temere Vill. εἰς συμβουλίαν ἢ ἐφ' ἑστίασιν. ἔτι τοῦτ' ἐστιν. ἐπὶ τούτοις ἐστὶν ed. Vill. 2. ἀργύριον. κερμάτιον scribo.

## CAP. XXIV. (*Ed. Wolf.* C. 31.)

Hæ te cogitationes ne adfligant, Ignobilis ego vivam, & nullius existimationis usquam. si enim ignobilitas malum est, non potes in malo esse per alium, non magis quam in turpi. Nunquid ergo tuum est opus magistratum consequi? aut, convivio accipi? Minime. Quomodo ergo etiam ignobilitas hoc censeri potest? quomodo etiam nullius existimationis eris usquam, quem in iis solis, quæ in tua potestate sunt, aliquem esse oportet, in quibus tibi quantivis esse pretii licet? At amici sine auxilio mihi relinquentur. Quid vocas, sine auxilio? non argen-

λίτας Ῥωμαίων αὐτοὺς ποιήσει. τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ

3 μὴ ἔχει αὐτός; Κτῆσαι οὖν, φασὶν, ἵνα καὶ ἡμεῖς ἔχωμεν. Εἰ δύναμαι κτήσασθαι, τηρῶν ἐμαυτὸν αἰδήμονα, καὶ πιστὸν, καὶ μεγαλόφρονα, δεικνύετε τὴν ὁδὸν, καὶ κτήσομαι. εἰ δ' ἐμὲ ἀξιοῦτε τἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι, ἵν' ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε ὑμεῖς, πῶς ἄνισοί ἐστε καὶ ἀγνώμονες. τί δὲ καὶ βούλεσθε μᾶλλον; ἀργύριον, ἢ φίλον πιστὸν καὶ αἰδήμονα; εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε, καὶ μὴ δι' ὧν ἀποβαλῶ αὐτὸ, ταῦτά με πράσ-

4 σειν ἀξιοῦτε. Ἀλλ' ἡ πατρίς, φησιν, ὅσον ἐπ' ἐμοὶ,

Ῥωμαίων αὐτούς. Placuit inverse scriptum αὐτοὺς Ῥωμαίων. 3. Κτῆσαι οὖν, φασίν. φησὶν scribo cum Heyn. et Vill. quod et Upt. voluit. δεικνύετε. δείκνυε scr. ἀποβαλῶ αὐτὸ, ταῦτά με. Scribo ἀποβαλῶ αὐτὰ ταῦτα, ἐκεῖνά με. 4. Post ἀβοήθητος ἔσται, addit Villebr. hæc verba, παιδευομένῳ σοι, καὶ τῶν ἐκτὸς ὡς ἀλλοτρίων καταφρονοῦντι, quæ e Simplicii

tum abs te habituri sunt; nec eos in Romanam civitatem adscribes. & quis tibi dixit, hæc ex iis esse quæ in nostrâ sunt potestate, ac non potius aliena opera? quis autem alii dare potest, quæ ipse non habet? Compara igitur, ajunt, ut & nos habeamus. Si possim comparare, conservatâ verecundiâ, fide, & magnanimitate, monstrate viam, & comparabo. sin id a me postuletis, ut meamet ego bona perdam, quo vos, quæ bona non sunt, acquiratis, videte vos ipsi, quomodo iniqui sitis & desipientes. utrum autem mavultis? pecuniamve, an amicum fidum & verecundum? in hoc ergo potius mihi opitulamini; non autem ea, quibus perdam istud, me agere postulate. At patria, inquit, quantum in meâ

ἐμοὶ, ἀβοήθητος ἔσται. Πάλιν, ποίαν ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διά σε, οὔτε βαλανεῖα; καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν χαλκέα, οὐδ' ὅπλα διὰ τὸν σκυτέα. ἱκανὸν δὲ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφελεῖς; Ναί. Οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ. Τίνα οὖν ἕξω, φησὶ, χώραν ἐν τῇ πό- 5
λει; Ἣν ἂν δύνῃ φυλάττων ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. εἰ δ' ἐκείνην ὠφελεῖν βουλόμενος, ἀποβαλεῖς ταῦτα, τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;



Comment. a nonnullis huc erant invecta. ποίαν ταύτην. ποίαν καὶ ταύτην scribo cum Vill. διά σε. Rectius διά σε, cum accentu. Temere διά σοῦ edidit Villebr. Idemque dein διὰ τοῦ χαλκέος, & διὰ τοῦ σκυτέος. αὐτὴν ὠφελεῖς; αὐτὴν ὠφέλεις scribo. 5. ἕξω, φησὶ, χώραν. φησὶ, χώραν ἕξω ed. Heyn. et Vill. φησὶν, ἕξω χώραν ed. Meib. τὸν πιστόν. ἑαυτὸν πιστὸν ed. Meib. & Vill. ἀποβαλεῖς. Commode nonnulli ἀποβάλλεις.

mea potestate situm est, auxilio carebit. Rursus, quod tu istud vocas auxilium? porticus per te non habebit, nec balnea? & quid hoc ad te? neque enim calceos habet per fabrum ferrarium, neque arma per sutorem. satis vero fuerit, suo quemque fungi munere. at si quem alium ei civem parares, fidum & verecundum, nihilne illam juvares? Ita vero. Proinde ne tu quidem patriæ fueris inutilis. Quem locum igitur, inquit, in civitate tenebo? Quemcunque possis, simul fidum te, ac verecundum servans. quod si, dum illi prodesse vis, hæc perdas, quam illi utilitatem afferes, qui impudens & infidus evaseris?

## ΚΕΦ. κε'.

1 Προετιμήθη σού τις ἐν ἑστιάσει, ἢ ἐν προσαγο-
ρεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ
μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι
ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακά, μὴ ἄχθου,
ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες· μέμνησο δέ, ὅτι οὐ
δύνασαι, μὴ ταὐτὰ ποιῶν πρὸς τὸ τυγχάνειν
2 τῶν οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι. πῶς
γὰρ ἴσον ἔχειν δύναται, ὁ μὴ φοιτῶν ἐπὶ θύρας
τινός, τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ
παραπέμποντι; ὁ μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι;
ἄδικος οὖν ἔσῃ, καὶ ἄπληστος, εἰ μὴ προϊέμενος
ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ
3 βουλήσῃ λαμβάνειν. Ἀλλὰ πόσου πιπράσκονται
θρίδα-

CAP. XXV. 1. Προετιμήθη. Alii Ἐὰν προτιμηθῇ. ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες. Nonnulli, ὅτι σὺ μὴ ἔτυχες. absque αὐτῶν. ὅτι οὐ δύνασαι. Iidem, διότι σὺ οὐ δύνασαι. τῶν ἴσων ἀξ. τῶν ἴσων ἐκείνῳ ἀξιοῦσθαι ed. Vill. 2. εἰ μὴ προϊέμενος. καὶ μὴ προϊέμενος ed. Heyn. & Vill. Mox, pro ταῦτα, ταὐτὰ ed. Vill. invitis mss.

## CAP XXV. (*Ed. Wolf. C. 32.*)

Est tibi prælatus aliquis in convivio, aut salutatione, aut in adsumtione ad consilium? si quidem hæc bona sunt, gratulari debes illi, cui ea contigerint: sin mala, ne doleas, te illa non adeptum. memento autem, haud posse te, non eadem facientem ad consequenda illa quæ in nostrâ potestate non sunt, æqualia mereri. quomodo vero tantundem habere potest, qui fores alicujus non frequentat, quantum qui frequentat? qui non deducit, quantum qui deducit? qui non laudat, quantum qui laudat? injustus igitur eris & inexplebilis, si non numerato eo pretio quo illa væneunt, gratis illa accipere velis. At quanti